# ΣΥΜΠΛΗΡΩΜΑ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΑΓΙΟΥ ΠΡΩΤΟΜΑΡΤΥΡΟΣ ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΔΙΑΚΟΝΟΥ

Ποίημα Ἰσιδώρας Μοναχῆς
τῆς Ἱερᾶς Μονῆς Τιμίου Προδρόμου Μακρυνοῦ Μεγάρων

Κανών, οὗ ἡ ἀκροστιχίς·
«Ἐν ᾠδαῖς στέφω σε, Πρωτομάρτυς. Ἰσιδώρα».

Ἦχος α΄. Χριστὸς γεννᾶται.

**Ε**ἰσδῦναι ἔνδοξε Στέφανε, εἰς κάλλος ἱκετεύω τῆς δόξης σου, καὶ πίστει ἰδεῖν φαιδρότητα, ξένης σου φωταυγίας καὶ μυστικῶς, θείαν ἀνυμνῆσαι Πρωτομάρτυρος τρυφήν, Λόγου τῇ χάριτι.

**Ν**αὸς ἐδείχθης αἰνέσεως, θυσίας εὐκλεοῦς τοῦ Δεσπότου σου, διὸ ἱερῶς προσέδραμες, Στέφανε μελῳδῆσαι αἶνον καινόν, τῆς εὐχαριστίας, σταυρικῶς ἰχνηλατῶν, δρόμον κενώσεως.

**Ὡ**ραίᾳ λάμψει στεφόμενος, ἀχράντου Πρωτομάρτυς μεθέξεως, Χριστῷ καρτερῶν θεσπέσιε, ὕψωσας ταῖς νιφάσι θείαν σκηνήν, χρώμενος θεμέθλῳ, τῇ ἀφέσει τῶν ἐχθρῶν, μύστα φωτόμορφε.

Θεοτοκίον.

**Δ**υνάμει Κόρη τοῦ Πνεύματος, τὴν δίψαν τοῦ Ἀδὰμ ἀναστείλασα, βροχὴν θεουργῶς ἐπόμβρησας, Δέσποινα Πασχαλίου οἴνου καινοῦ, μέθην ἐμποιοῦσα, τῶν μαρτύρων τοῖς χοροῖς, ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.

**Ἀ**πορρήτῳ φάει, τῆς Τριάδος ἐστέφθης, ἰδὼν οὐρανῶν, τὴν βασιλείαν ἐν τῷ μέσῳ, μιαιφόνων ἀθέων, τῷ Σαύλῳ δεικνύων εἴσοδον, θεογνωσίας δι᾽ ἧς τῷ Χριστῷ, ὄντως συνεσταύρωσαι.

**Ἱ**ερῶν λειψάνων, ἐξαντλοῦντες τὴν χάριν, Στεφάνου σεπτῶς, καὶ ἰαμάτων τὰς ἐκχύσεις, ἐκδεχόμενοι πίστει, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

**Σ**εραφὶμ τὴν ζέσιν, προσλαβὼν σελασφόρε, ἀγγέλου μορφῇ, φωτοβλυσίαν διαχέεις, οἰκτιρμῶν δεσποτείων, ἡμῖν ἀντιδοὺς χαρίσματα, τοῖς ἀνυμνοῦσι τὴν σὴν ἀρετήν, Στέφανε τρισόλβιε.

Θεοτοκίον.

**Σ**ωτηρίας πέλεις, θεαυγὴς λειτουργία, Παρθένε Ἁγνή, ἀνακαινίζουσα τὴν κτίσιν, ἐφθαρμένην ἀπάτῃ, καὶ γὰρ τὸν Θεὸν ἐχώρησας, ἀρρητοτρόπως ἐν μήτρᾳ τῇ σῇ, σάρκα προσλαβόμενον.

## Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης.

Τύπος διακόνων ἀγλαής, ὡράθης καὶ χαρὰ πιστῶν, τῇ Ἐκκλησίᾳ δαπανώμενος· διόπερ τὸ τιμαλφὲς ἀπονείμας σοι στέφος, Στέφανε Χριστὸς ὁ Εὐεργέτης, ὀνόματι ἐν καινῷ, μέτωπον τὸ σὸν κατηγλάϊσε.

Ἔστης ἐν τῷ μέσῳ τῶν θηρῶν, ἐν λόγῳ τριφαεῖ σοφέ, παραπικραίνων τοὺς ἀλάστορας, καὶ λίθοις τὸ ἱερόν, μαρτυρίου δομήσας, Στέφανε συγχώρησιν παρέσχες, τοῖς φαύλοις σου φονευταῖς, ὥσπερ ὁ Δεσπότης καὶ Κύριος.

Φέρων ὡς σφραγῖδα τὸν Χριστόν, καὶ πίστεως κλεινὸν πυρσόν, τῇ ἀληθείᾳ ὡμολόγησας, τολμήσας τῶν μιαρῶν, ἀπειλὰς ἀλογῆσαι· ὅθεν ἀγλαόφωτον κατεῖδες, καὶ ἄϋλον ἑορτήν, Στέφανε παρέχων ἰάματα.

### Θεοτοκίον.

Ὤφθης Πρωτομάρτυς τοῦ Χριστοῦ, Παρθένε ἀῤῥαγὴς κρηπίς, μαρτυρικὰς ἀναπηγάζουσα, ἀκτῖνας τῇ χαρμονῇ, Ἀναστάσεως Κόρη· σὺ γὰρ τὸν Ἀδὰμ ἀνεκαλέσω, εἰς μέθεξιν θεουργόν, φέγγει βασιλείου σταυρώσεως.

## Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης.

Συνᾴδειν ἐνθέως, ἡμῖν φωτουργέ, ἐν δυνάμει τοῦ Πνεύματος ἔδραμες, καὶ νέμων καθαρότητος τὴν χάριν ἱλαρῶς, χαίροις τῆς σωτηρίας ἐκφαίνων τὰς ἐλλάμψεις, Πρωτομάρτυς Στέφανε, καὶ Ἐκκλησίας τὴν εὐπρέπειαν.

Ἑνοῖς φωτοφόρε, τοῦς πίστει θερμῇ, τοῖς λειψάνοις σου μάρτυς προστρέχοντας, καὶ γλεῦκος παρακλήσεως, προσφέρεις μυστουργέ· σὺ γὰρ τῇ ἀγωνίᾳ, Χριστοῦ συγκοινωνήσας, προεξάρχοις Στέφανε, τῆς προφυροχρόυ ὁμηγύρεως.

Πληγὰς πανευώδεις, νοῒ διαυγεῖ, προσκυνοῦμεν ὦ Στέφανε Πρώταθλε, ἐμμύρως σφραγιζόμενοι, αἱμάτων σου βαφαῖς· ὤφθης γὰρ ἐξαστράπτων, νεότητος τῇ ὥρᾳ, θεηγόρος ἄγγελος, ὑπερφυῶς ἱερουργούμενος.

### Θεοτοκίον.

Ῥοῶν σου τὸ νᾶμα, ποτίζεις ἡμᾶς, καὶ ἡδύνεις ἁπάντων τὸν λάρυγγα· τοῦ Κτίστου γὰρ γεγένησαι, Παρθένε, γλυκασμός, Εὔαν ἐλευθεροῦσα, πικρίας ἀθεσφάτου, καὶ πιστοὺς εἰσάγουσα, υἱοθεσίας εἰς ἡδύτητα.

## Ὠδὴ στ΄. Σπλάγχνων Ἰωνᾶν.

Ὢ τῆς ὑπὲρ νοῦν, Στέφανε πραότητος, μεθ᾽ ἧς τῷ Υἱῷ, ὅμοιος γέγονας, τὴν χρηστότητα, ἐνδυσάμενος Λόγου καὶ λίθων βολαῖς, ἀμαρύγματα μαρμαίρων ταπεινώσεως· λίθος τιμαλφὴς γὰρ δέδειξαι, διαχέων ἡμῖν ἀγαθότητα.

Τρίφωτον ἰδών, δόξαν τῆς θεότητος, μετέστης φαιδρῶς, Στέφανε ἔνδοξε, πλήρης χάριτος, καὶ ἀγγέλων αἱ τάξεις, ἐκπλήξει σεπτῇ, καθορῶσαι ἐρυθρά

σου τὰ ἐνδύματα, αἶνον ἐν δυνάμει ἔψαλλον, ὁμοιώσει Δεσπότου θελγόμεναι.

**Ὅ**λος λαμπρυνθείς, Πνεύματος μεθέξεσι, καὶ αἴγλῃ Σταυροῦ, Σαῦλον ἐφείλκυσας, ὥστε σπένδεσθαι, τοῦ Δεσπότου τῷ φίλτρῳ, καὶ λέγειν Χριστῷ, συνεσταύρωμαι καὶ χαίρω τοῖς παθήμασιν. Ὅθεν τῶν πταισμάτων ἄφεσιν, ἀναβρύεις θαυμάσιε Στέφανε.

Θεοτοκίον.

**Μ**ὴ τῆς χαρμονῆς, Δέσποινα στερήσῃς με, τῆς ὄντως ζωῆς ἄρτῳ ἐκτρέφουσα, αἰωνίζοντι· καὶ γὰρ ξένῳ σου τόκῳ, ὁ Λόγος σαρκί, ἐπεφάνη τοῖς ἀνθρώποις ἐσθιόμενος, μένων τῷ Πατρὶ ἀχώριστος, καὶ τὴν Εὔαν ἐξ Ἅδου λυτρούμενος.

Ὠδὴ ζ΄. Οἱ Παῖδες εὐσεβείᾳ.

**Ἀ**ῤῥήτου θεωρίας γεγευμένος, δυσσεβοῦς φρυάγματος καταπεφρόνηκας, αὐγῇ τριφαεῖ καταλαμπόμενος, ὅθεν μέσῳ τῶν βολῶν, τοῦ μίσους ἔψαλλες. Ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

**Ῥ**ημάτων ἐν τῷ σθένει σου μανεῖσα, μιαρῶν ἡ σύναξις ἐκτεθηρίωται, διό σοι λιθόκτιστον ηὐτρέπισε, καταφύγιον φαιδρόν, τῆς δόξης Στέφανε, ἀναβοῶντι, Χριστὲ εὐλογητὸς εἶ.

**Τ**ῷ βέλει τοῦ Κυρίου τετρωμένος, πορφυροῦν τε δίαυλον ἐγκαινισάμενος ἡμῖν εὐωδίαν καθαρότητος, διαπνέεις καὶ Σταυροῦ, ὀθνείαν δύναμιν, ὦ Πρωτομάρτυς, Χριστοῦ εὐλογημένε.

Θεοτοκίον.

**Ὑ**πάρχεις ἀγλαόκαρπος μηλέα, Μαριὰμ ἐν Πνεύματι καρποφορήσασα, τὸ μῆλον χαρᾶς τῆς μυροχεύμονος, καὶ γὰρ ὤφθης μυστουργός, φρικτῆς κενώσεως, τὸν Ζωοδότην τεκοῦσα ἀσπερμάντως.

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

**Σ**τέφανε μεταδιδοὺς μὴ διαλίπῃς, Παρακλήτου ἐλλάμψεις ἁγίας, σὺ γὰρ ἐκοινώνησας θείου κάλλους, καὶ λαμπηδόνων θεότητος, εἰς δίαυλον μαρτύρων σοφέ. Καὶ νῦν προεξάρχων τῆς αἰνέσεως, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, μέλπεις Πρωτομάρτυς, εἰς πάντας τοὺς αἰῶνας.

**Ἵ**μερον τοῦ Λυτρωτοῦ ἐνδεδυμένος, καὶ τὸ σθένος ἐλέγχειν τοὺς φαύλους, μένος τῶν ἀφρόνων οὐδόλως πτήξας, τῆς ἀληθείας τὸ κήρυγμα, ἐμήνυσας ἀγγέλου μορφῇ· διό σοι θεώσεως μελῴδημα, τῶν νιφάδων ὁ ἦχος μάρτυς ἐγένετο, Στέφανε δοξάζων, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Σ**τέργομεν Χριστοειδῆ σου τὴν ὀδύνην, ἐστεμμμένην τῆς χάριτος φέγγει, πόθῳ ἱκετεύοντες θεῖε μάρτυς,

τῆς Βηθλεὲμ ταῖς λαμπρότησι, διώκειν τῶν παθῶν τὴν ἀχλύν, ὦ Στέφανε ἔνδοξε προσᾄδοντες· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἴδοιμεν τὴν σωστικήν σου γαλουχίαν, ἐν σπηλαίῳ ἐλθόντες Παρθένε · φέ- ρεις γὰρ ἀγκάλαις σου βρέφος θεῖον, πλαστουργηθὲν τῇ νηδύϊ σου, ἀσπόρως Θεοτόκε Ἁγνή. Διὸ εὐχαρίστως ἀναμέλπομεν· Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Μυστήριον ξένον.

Δεχθεὶς σελασφόρε, βροχὴν τὴν παράκλητον, οὐρανοὺς ἠτένιζες, ὅτε μανιωδῶς οἱ φονεῖς σε, λιθάζοντες φθόνῳ, ἐδόκουν πορθεῖν, τὸ Εὐαγγέλι- ον, καὶ κτείνειν Χριστόν, ὃν ἀνυμνοῦντες, μεγαλύνομεν.

Ὡραίαις ἀκτῖσιν, ὁρῶμέν σε σήμερον, ποικιλθέντα Στέφανε, ἔνθα μαρτυρικαὶ παρατάξεις, αἰνοῦσι τὴν δόξαν, καὶ λάμψιν κενώσεως θεό- πνευστε, Χριστοῦ τοῦ Θεοῦ, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ῥανάτω μοι χάριν, ἡ μνήμη σου Στέφανε, ἀστραπὰς γὰρ γνώσεως, δέχει σεραφικαῖς φωταυγίαις, καὶ ἔρωτος καῦσιν, ἐν ᾧ ἱκετεύεις τὸν Φιλάνθρω- πον, Χριστὸν τὸν Θεόν, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Θεοτοκίον.

ᾄδέτω σοι Κόρη, ᾠδαῖς θείου Πνεύματος, Σολομὼν ἐν ᾄσματι· φοῖνιξ μελιηδὴς ἐνυπάρχεις, μεστὸς χαρισμάτων, ἐφ᾽οὗ καὶ ἀνέβη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.